Hæc igitur cum ex uno & eodē elemento concreta ſint, uiciſsim mutantur & conuertuntur. Dodecaedron uero, quod ſphæræ proximū eſt, uniuerſitatis ſimulachrū conſtituit. Atq; ignis quidem partium tenuitate tranat omnia, aer excepto igne per alia diffunditur corpora. Aqua uero per terram fluit & labitur. Quapropter cōpleta ac conferta ſunt omnia, cū nihil inanitatis prorſus relinquant, ſed uniuerſi uolubilitate collecta & congregata mutuo ſeſe collidant & conterant, atq; ut ortus & interitus conſeruetur, continenter afficiantur, alterenturq;.

τούτοις δὲ ποτὶ χρεόμενος ὁ θεὸς, τόνδε τὸν κόσμον κατεσκεύαξεν, ἁπτὸν μὲν διὰ τὰν γᾶν, ὁρατὸν δὲ διὰ τὸ πῦρ, ἅπερ δύο ἄκρα· διὰ ἀέρος δὲ καὶ ὕδατος συνεδήσατο δεσμῷ κρατίστῳ ἀναλογίᾳ, ἃ καὶ αὐτὰν καὶ τὰ δι' αὐτᾶς κρατεόμενα συνέχειν δύναται. εἰ μὲν ὦν ἐπίπεδον εἴη τὸ συνδεόμενον, μία μεσότας ἱκανά ἐστιν· εἰ δὲ καὶ στερεὸν, δύο χρῄζει. δυσὶν ὦν μέσοις, δύο ἄκρα συναρμόξατο, ὅκως εἴη ὡς πῦρ ποτ' ἀέρα, ἀὴρ ποτὶ ὕδωρ ποτὶ γᾶν, καὶ κατεναλλαγὰν, ὡς πῦρ ποτὶ ὕδωρ ἀὴρ ποτὶ γᾶν καὶ ἀνάπαλιν ὡς τὰ ποτὶ ὕδωρ, ὕδωρ ποτ' ἀέρα καὶ ἀὴρ ποτὶ πῦρ. καὶ κατ' ἐναλλαγὰν, ὡς τὰ ποτ' ἀέρα, ὕδωρ ποτὶ πῦρ· καὶ ἐπεὶ δυνάμει ἴσα ἐντὶ πάντα, τοὶ λόγοι αὐτῶν ἐν ἰσονομίᾳ ἐντί. εἷς μὲν ὦν ὁ δὲ κόσμος δαιμονίῳ δεσμῷ τῷ ἀναλογόν ἐστιν. ἕκαστον δὲ τῶν τεττόρων σωμάτων πολλὰ εἴδεα ἔχει, πῦρ μὲν φλόγα καὶ φῶς καὶ αὐγὰν, διὰ τὰν ἀνισότητα τῶν ἐν ἑκάστῳ αὐτῶν τριγώνων. κατ' αὐτά τε καὶ ἀὴρ τὸ μὲν καθαρὸν καὶ αὖον,

τὸ δὲ

τὸ δὲ νοτερὸν καὶ ὀμιχλῶδες. ὕδωρ τε τὸ μὲν ῥυτὸν, τὸ δὲ πακτὸν, ὁ κόσσον χιών τε καὶ πάχνα χάλαζά τε καὶ κρύσταλλος. ὑγρόν τε τὸ μὲν ῥυτὸν ὡς μέλι, ἔλαιον. τὸ δὲ πακτὸν ὡς πίσσα, κηρός: πακτῶ δὲ εἴδεα, τὸ μὲν χυτὸν χρυσὸς, ἄργυρος, χαλκὸς, κασσίτερος, μόλιβδος σταγών. τὸ δὲ θραυστὸν θεῖον, ἄσφαλτον, νίτρον, ἅλες, συμπνεῖα λίθοι τοὶ ὁμογενέες:

Varia lectio.

Κατ᾽ αὐτά τε καὶ ἀὴρ *in alio libro manuſcripto* καὶ τὰ ταῦτά τε.

Hæc quidem corpora cum adhibuiſſet Deus, hunc quem cernimus, mundum effecit, tractabilem quidem, quod terræ, aſpectabilem uero quod ignis particeps ſit. Quæ duo extrema aere & aqua firmiſſimi uinculi proportione colligauit, quæ & ipſum uinculum & quæ per ipſum deuincta ſunt, poſſit continere. Quare ſi quod ligatum eſt, id planum ſit, una ſatis eſt medietas: Sin uero ſolidum, requiruntur duæ. Duobus igitur medijs duo extrema ſic accõmodantur, ut quemadmodũ ignis aeri, ſic aer aquæ, & aqua terræ, & retrouiciſſim ut ignis aquæ, ita aer terræ proportione reſpondet, ac rurſum quod terra aquæ, id aqua aeri, & aer igni proportione reddit, & mutatis uicibus ut terra aeri, ita aqua igni proportione comparatur. Quæ quidem omnia cum uiribus paria ſint, eorum quoq; rationes in æquabilitate

conſiſtunt. Solus igitur atq; unigena hic eſt mundus diui ni uinculi proportione colligatus uerum unumquodque quatuor corporum plures habet formas. idq; ratione inæqualitatis triangulorum, qui in eis ſunt. Ignis.n. flã-mam, lumen & ſplendorem, aer ſimiliter puritatem & ſiccitatem, tum humorem & caliginem continet. Aqua deinde effuſionem habet & concretionem, ut cum niue pruinaq́; concreſcit, ac grandine chryſtalloq́; cõglatiat. Porrò res humidæ partim ſunt effuſæ ut mel & oleum, partim concretæ ut pix & cera. Concreti humoris duplex habetur genus, alterum fuſile, ut aurum, argẽtum, æs, ſtannum, plumbum & σταγὼν, alterum friabile, qualia ſunt ſulphur, bitumen, nitrum, ſal, calchites & lapides generis eiuſdem.

Scholia.

1 *Non deſunt, qui τὸ θεῖον gypſum transferant.*

Σταγὼν quid ſit hic a Timæo *inter metalla numeratus, doceri libenter uelim, tametſi σταγωνίαν non ignorem apud* Dioſcoridem *maſculi thuris eſſe genus. Sed ſi mihi liceat, σταγὼν ferrum conuerterem, (quanuis id ſit magis ductile q̃ fuſile) tum quod propoſito maxime congruat, tum fortaſſe q̄ (ut arbitror) qui σταγὼν primus impreſſerit, ex abbreuiatione quadam, qua σίδηρον continebatur deceptus ſit. at liberum ſit unicuiq́; iudicium.*

3 Μετὰ δὲ τὰν τῷ κόσμῳ σύστασιν, ζώων θνατῶν γένα-

σιν ἐμαχανεύσατο, ἵν' ᾖ τέλεος ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. τὰν μὲν ὦν ἀνθρωπίναν ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυναμίων συγκερασμένος, καὶ μερίξας διένειμε τᾷ φύσει τᾷ ἀλλοιωτικᾷ παραδούς, διαδεξαμένα δὲ αὐτὸν ἐν τῷ ἀπεργάζεν θνατά τε καὶ ἐφαμέρια ζῶα, ὧν τὰς ψυχὰς ἐπιῤῥύτως ἐνάσαγε, τὰς μὲν ἀπὸ σελάνας, τὰς δ' ἀπ' ἁλίω, τὰς δὲ ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τᾷ τῶ ἑτέρω μοίρᾳ ἔξω μιᾶς τᾶς τῶ αὐτῶ δυνάμιος, ἂν ἐν τῷ λογικῷ μέρει ἔμιξεν εἰκόνα σοφίας τοῖς εὐμοιρατοῦσι. τᾶς μὲν γὰρ ἀνθρωπίνας ψυχᾶς τὸ μὲν λογικόν ἐστι καὶ νοερόν, τὸ δ' ἄλογον καὶ ἄφρον. τῶ δὲ λογικῶ τὸ μὲν κρέσσον ἐκ τᾶς ταυτῶ φύσιος, τὸ δὲ χέρειον ἐκ τᾶς τῶ ἑτέρω. ἑκάτερον δὲ περὶ τὴν κεφαλὴν ἵδρυται μόνον, ὥστε ἄλλα μέρεα τᾶς ψυχᾶς καὶ τῶ σώματος ὑπηρετεῖν τούτῳ καθάπερ ὑπὸ αὐτῷ τῷ σκάνεος ἅπαντος. τῶ δ' ἀλόγω μέρεος τὸ μὲν θυμοειδὲς περὶ τὴν καρδίαν, τὸ δ' ἐπιθυματικὸν περὶ τὸ ἧπαρ. τῶ δὲ σώματος ἀρχὰν μὲν καὶ ῥίζαν μυελῶ εἶμεν ἐγκέφαλον, ἐν ᾧ ἁ ἁγεμονία. ἀπὸ δὲ τούτω ἀπόχυμα ῥεῖ διὰ τῶν νωτίων σπονδύλων τὸ λοιπόν, ἐξ ὧ εἰς σπέρμα καὶ λόγον μερίξεσθαι, ὀστέα δὲ μυελῶν περιφράγματα, τουτέων δὲ σκέπαν μὲν τὰν σάρκα, καὶ περικάλυμμα. συνδέσμοις δὲ ποτὶ τὰν κίνησιν τοῖς νεύροις συνάψε τὰ ἄρθρα. τῶν δὲ ἐντοσθίων τὰ μὲν τροφᾶς χάριν, τὰ δὲ σωτηρίας.

Multiplex lectio.

Ἐπεῤῥύτως ἐνάσταγε *alibi* ἐνάγαγε.
Τῷ σκαιέος ἄπαντος, ἄπαντος ἢ ἄπαντα *debet legi.*
Ἀπὸ δὲ τούτω ἀπόχυμα, *alibi* δεῖ ἀπόχυμα.
Διὰ τῆς νοτίων *ſcribe* νωτίων.
Εἰς σπέρμα καὶ λόγον *legendum arbitror* γόνον.
Τῶν δ' ἐντοσθίων *alius codex habet* ἐντοσθιδίων.

Cum mundum conſtruxiſſet atq; ædificaſſet Deus, animalia quoq; mortalis conditionis procreauit, ut ipſe ad propoſitum exemplar factus omni ex parte perfectus eſſet & abſolutus. Atq; cum animam humanam ex iiſdem rationibus & uiribus temperaſſet, partitusq; eſſet, eam naturæ quæ uim habet alterandi, quæq; in efficiendis mortalibus & caducis animantibus eandem recipit, diſtribuit ac tradidit. Harum animas partim a Luna, partim a Sole partim ab aliis ſtellis, quæ in parte alterius naturæ uagantur, defluentes collegit, excepta una eiuſdem naturæ facultate, quam admiſcuit rationi, quæ quidem ſapientiæ ſimulachrum eſſet iis, qui bene ac beate uitam agunt. Siquidem humani animi uires duplices ſunt, quarum altera ratio dicitur & intelligētia, altera rationis uacuitas & inſipientia. verum ea rationis pars habetur præſtantior, quæ eiuſdem eſt naturæ, deterior, quæ alterius. vtraq; tamen in capite poſita eſt, ut illæ animi & corporis facultates rationi pareāt, & obtemperēnt, ueluti omnes ſub hac arce conſtitutæ.

partis autem illius quæ rationis eſt expers, ira in corde, cupiditas in Epate collocatæ ſunt. Quod uero ad corpus attinet, initium & radicem medullæ cerebrum eſſe aiunt, in quo principatus reſidet & uiget. Inde reliquum quaſi fluxio per dorſi ſpinas labitur, ex quo in ſemen & genituram fit diſtributio. Medullas oſſa circum ſepiũt, oſſa caro contegit, operitq́;. Artus etiã neruis, qui idonei ſunt nexus ad motionem, coniunguntur, copulanturq́;. Sed ex membris interioribus nonnulla cibi cauſa, aliqua ad ſalutem & conſeruationem data ſunt.

Κινασίων δὲ τῶν ἀπὸ τῶν ἐκτὸς τὰς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα τόπον αἰσθασίας εἶμεν, τὰς δ' ὑπὸ ἀντίλαψιν μὴ πιπτοίσας ἀνεπαισθήτως, ἢ τῷ τὰ πάσχοντα σώματα γεωδέστερα εἶμεν, ἢ τῷ τὰς κινασίας ἀμενηνοτέρας γίγνεσθαι. ὁκόσαι μὲν ὦν ἐξίσαντι τὰν φύσιν, ἀλγειναὶ ἐντί, ὁκόσαι δὲ ἀρχὰν καθιστάντι εἰς αὐτάν, ἁδοναὶ ὀνυμαίνονται. τᾶν δ' αἰσθησίων τὰν μὲν ὄψιν ἄμμιν τὸν θεὸν ἀνάψαι εἰς θέαν τῶν ὠρανίων καὶ ἐπιστάμας ἀνάλαψιν. τὰν δὲ ἀκοὰν λόγων καὶ μελῶν ἀντιλαπτικὰν ἔφυσεν, ἃς στερισκόμενος ἐκ γενέσεως ὁ ἄνθρωπος, οὔτε λόγον ἔτι προέσθαι δυνάσεται· διὸ καὶ συγγενεστάταν τῷ λόγῳ ταύταν αἴσθασιν φαντὶ εἶμεν. ὁκόσα δὲ πάθεα τῶ σωμάτων ὀνυμαίνεται ποτὶ τὰν ἁφὰν κλίνεται, τὰ δὲ ῥοπᾷ ποτὶ τὰν χώραν. ἁ μὲν γὰρ ἁφὰ κρίνει τὰς ζωτικὰς δυνάμιας θερμότατα, ψυχρότατα, ξηρότατα, ὑγρότατα, λειότατα, τραχύτατα, εἴκοντα ἀντίτυπα, μαλακὰ σκληρά, βαρὺ δὲ καὶ κουφὸν ἁφὰ μὲν προκρίνει, λόγος

διορίζει τὰ εἰς τὸ μέσον καὶ ἀπὸ τῶ μέσω νεύσει, κάτω δὲ καὶ μέσον ταὐτὸ φαντί· τὸ γὰρ κέντρον τᾶς σφαίρας τουτέστι τὸ κάτω, τὸ δ' ὑπὲρ τοῦτο ἄχρι τᾶς περιφερείας ἄνω. τὸ μὲν ὦν θερμὸν λεπτομερὲς καὶ διαστατικὸν τῶν σωμάτων δοκεῖ εἶναι. τὸ δὲ ψυχρὸν παχυμερέστερον πόρων, καὶ συμπιλωτικόν ἐστι.

Τὰ δὲ περὶ τὰν γεῦσιν ἔοικε τὰ ἁφᾶ· συγκρίσει γὰρ καὶ διακρίσει, ἔτι δὲ τᾷ εἰς τὼς πόρως διαδύσει καὶ τοῖς σχημάτεσσιν ἢ στρυφνὰ ἢ λεῖα, ἀποτάκοντα ἢ καὶ ῥύπτοντα τὰν γλῶτταν πικρὰ φαίνεται, μετριάζοντα δὲ τὰ ῥύπτει ἁλμυρά, ἐκπυροῦντα δὲ καὶ διαιρέοντα τὰν σάρκα, δριμέα, τὰ δ' ἐναντία, λεῖά τε καὶ γλυκέα κεχύλωται. ὀσμᾶς δὲ εἴδεα μὲν οὐ κεχώρισται. διὰ γὰρ στενῶν πόρων διηθεῖσθαι στερεωτέρων ὄντων, ἢ ὡς συνάγεσθαι καὶ διίστασθαι σάψεσι καὶ πέψεσι γᾶς τε καὶ γεωειδέων εὐώδεά τε καὶ δυσώδεα εἶμεν.

Φωνὰ δ' ἐστὶν πλάξις ἐν ἀέρι διικνουμένα ποτὶ τὰν ψυχὰν δι' ὤτων, ὧν τοὶ πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες, ἐν τούτοις πνεῦμα, οὗ ἁ κίνασις ἀκοά ἐστι. φωνᾶς δὲ καὶ ἀκοᾶς, ἁ μὲν ταχεῖα ὀξεῖα, ἁ δὲ βραδεῖα, βαρεῖα, μέσα δὲ ἁ συμμετροτάτα, καὶ ἁ μὲν πολλὰ καὶ κεχυμένα, μεγάλα, ἁ δὲ ὀλίγα καὶ συναγμένα, μικρά, ἁ δὲ τεταγμένα ποτὶ λόγως μουσικῶς ἐμμελής. ἁ δὲ ἄτακτος καὶ ἄλογος, ἐκμελής τε καὶ ἀνάρμοστος. τέταρτον δὲ γένος αἰσθητῶν πολυειδέστατον καὶ ποικιλώτατον, ὁρατὸν δὲ λέγεται, ἐν ᾧ χρώματά τε παντοῖα καὶ κεχρωσμένα μύρια, πρᾶτα δὲ τέτορα

λευκὸν, μέλαν, λάμπρὸν φοινικοῦν. τἄλλα γὰρ ἐκ κιρναμένων τούτων γεννᾶται, τὸ μὲν ὦν λευκὸν διακρίνει τὴν ὄψιν. τὸ δὲ μέλαν συγκρίνει, ὅκωσπερ τὸ θερμὸν διαχεῖ τὰν ἁφὰν, τὸ δὲ ψυχρὸν συνάγειν δύναται. καὶ τὸ μὲν στρυφνὸν συνάγειν τὰν γεῦσιν, τὸ δὲ δριμὺ διαιρεῖν πέφυκε.

Varia lectio.

Καὶ στρυφνὰ φαίνεται legerem ego πικρά.

Καὶ γλυκέα κεχύλωται aliter κέκληται alibi καὶ χυλῶ.

Εἰ δὲ ἄτακτος καὶ ἄρρυθμος alibi legitur ἄλογος.

Κεχώρισται τᾶς ὀσμᾶς εἴδεα alibi διώρισται.

Motiones autem quæ a rebus externis aguntur, partim habentur ſenſus, qui illi ſede quæ ſapit, delegati ſunt, partim incomprehenſibiles exiſtunt, cum nec ſenſum moueant, ſiue quod illa quæ afficiuntur, corpora terreſtria magis ſunt: ſiue quod debiliores fiant motus. Quæ igitur a naturæ ſtatu dimouent, dolorem inferunt, quæ uero in illum reſtituunt, uoluptates nuncupantur. Verum ex ſenſibus aſpectum nobis tribuit Deus, tum ad contemplandas res cæleſtes, tum etiam ad acquirendam ſcientiam. Auditam mox inſeruit, qui orationes & cãtus reciperet. Hoc ſenſu ſiquis ab ortu naturæ priuatus ſit, orationẽ proferre nullo modo poteſt. Quapropter hũc ſenſum orationi cognatiſſimum eſſe tradunt. At quæ uocantur corporis affectiones tactu & momẽto, ad locum iudicantur. Tactus.n. animales facultates calorem, frigus, ſiccitatem, humorem lenitatem & aſperitatem, tum

quæ cedunt, & quæ reſiſtunt mollitudinem & duritiem dijudicat grauitatem uero & leuitatem prius quidem diſcernit tactus, ſed mox definit ratio, ut hæc a medio, illa ad medium uergat & inclinet. Porro locum infimum & medium eſſe eundem exiſtimant. Quod.n.in orbe pũcti i ſtat obtinet, quod centrum uocant, id eſt infimum, ſummum uero quod ſupra illud eſt ad ambitum cæli pertinens. Calor ſane tenuisſimus & maxime diuidens corpora uidetur eſſe. frigus autem crasſius & conſtipandi meatus & obturandi uim habens.

Verum guſtatus asſimilatur tactui, ſapores.n. qui congregant & diſgregãt, ac præterea meatus penetrãt, & figura aliqua figurantur, acerbi leneſq; ſunt. qui uero liquefaciunt & abſtergunt linguam, ſentiuntur amari. qui adurunt carnem & diſſecant, acres, qui contra, lenes & dulces eſſe iudicantur.

Odorum genera non diſtinguuntur, quod per anguſtos & ſolidiores introitus peruadant, an quod colligantur diſgregenturq; & cum terra & res terreſtres putreſcant & concoquantur, ſuaues & tetri odores ſentiantur.

Vox eſt aeris percusſio quæ ad animam per nares fertur: quarum meatus uſq; ad iecur pertinent. in his includitur ſpiritus, cuius quidem motio auditus eſt. Ergo uocis & auditus motio, quæ uelox eſt, acuta, quæ uero tarda, grauis, quæ media, admodum temperata, quæ multa & confuſa, magna, quæ pauca & conſtricta, parua,

quæ muſicis rationibus diſpoſita ordinataq́; eſt, conſona atq; concinna, quæ autem inordinata, & ratione uacãs, abſona ineptaq́; percipitur.

Quartum earum rerum quæ mouent ſenſum, reſtat genus apprime diuerſum & multiplex quod uocatur aſpectabile, ſub quo uarij continentur colores, & res infinitæ colore ſuffuſæ, principes genere ſunt quatuor candor, nigror, ſplendor, & color purpureus. Reliqui ex horum admiſtione gignuntur. Ac ſane candor aſpectum diſſipat & diſpergit. Nigror contra colligit & congregat. Quemadmodum uſu uenit ut tactum calor diffundat, frigus contrahat. Acerbus item ſapor ſua natura guſtatum colligat, acer uero diuidat.

Τρέφεσθαι δὲ τὸ σκᾶνος τῶν ἐναερίων ζώων καὶ συνέχεσθαι τὰς μὲν τροφὰς διαδιδομένας διὰ τᾶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον κατ' ἐπίρρυσιν οἷον δι' ὀχετῶν ἀγομένας καὶ ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχεῖ αὐτὰν ὠθεῦν ποτὶ τὰ πέρατα φέρον. ἁ δ' ἀνάπνοια γίνεται μηδενὸς μὲν κενεῶ ἐν τᾷ φύσει ἐόντος, ἐπιρρέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος ἀντὶ τῶ ἀπορρέοντος διὰ τᾶν ἀοράτων στομίων, δι' ὧν καὶ ἁ νοτὶς ἐπιφαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος ἀπαναλουμένω, ἀναγκαῖον ὦν ἀντικαταχθῆμεν τὸ ἴσον τῷ ἀναλωθέντι, εἰ δὲ μή, κενώσιας εἶμεν, ὅπερ ἀμάχανον, οὐδὲ γὰρ ἔτι εἴη καὶ σύρροον καὶ ἓν τὸ ζῷον, διαιρουμένω τῶ σκάνεος ὑπὸ τῶ κενεῶ. ἁ δὲ ὁμοία ὀργανοποιία γίνεται καὶ ἐπὶ τῶν ἀψύχων κατὰ τὰν τᾶς ἀναπνοᾶς ἀναλογίαν. ἁ γὰρ σικύα καὶ τὸ ἤλεκ

φοι εἰκόνες ἀναπνοᾶς ἐντί. ῥεῖ γὰρ διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα ἀντιπεριάγεται δὲ διὰ τᾶς ἀναπνοᾶς τῶ τε σώματι καὶ τᾶς ῥισίν, εἶτα πάλιν ὅτι ἐνέοντα ἀντιπεριφέρεται εἰς τὸ σῶμα, τὸ δὲ ἀνατείνεται κατὰ τὰς ἐκροὰς ἀπειαλωθέντος ἀπὸ τῶ πυρὸς τῶ ἀέρος ἐφέλκεται τὸ ὑγρόν. τὸ δ᾽ ἤλεκτρον ἐκκενωθέντος τῶ πνεύματος ἀναλαμβάνει τὸ ὅμοιον σῶμα. τροφὰ δὲ πάσας ἀπὸ ῥίζας μὲν τὰς καρδίας, παγᾶς δὲ τὰς κοιλίας ἐπάγεται τῷ σώματι, ὃ καὶ εἴκα πλείω τᾶς ἀπορρεοίσας ἐπάρδοιτο, αὔξα λέγεται, εἴκα δὲ μείω, φθίσις, ἁ δὲ ἀκμὰ μεθόριον τουτέων ἐστὶ καὶ ἐν ἰσότατι ἀπορροᾶς καὶ ἐπιρροᾶς νοέεται.

Λυομένων δὲ τῶν ἁρμῶν τᾶς συστάσιος, αἴκα μηκέτι διόδος πνεύματι, ἢ τροφὰ διαδίδοται, θνάσκει τὸ ζῶον. πολλαὶ δὲ κᾶρες ζωᾶς καὶ θανάτου αἰτίαι, ἓν δὲ γένος νόσος ὀνυμαίνεται. νόσω δὲ ἀρχαὶ μὲν αἱ τῶν πρώτων δυναμίων ἀσυμμετρίαι, εἴκα πλεονάζοιεν ἢ ἐλλείποιεν ταὶ ἁπλαὶ δυνάμει, θερμότας ἢ ψυχρότας ἢ ὑγρότας ἢ ξηρότας. μετὰ δὲ ταῦτα αἱ τῶ αἵματος τροπαὶ καὶ ἀλλοιώσιες ἐκ διαφθορᾶς καὶ αἰτίας σαρκὸς τακομένας κακώσιες. αἴκα κατὰ τὰς μεταβολὰς ὧδε τὸ ὀξὺ ἢ ἁλμυρὸν ἢ δριμὺ τροπαὶ αἵματος ἢ σαρκὸς τακεδόνες γένοιντο. χολᾶς γὰρ αἱ γενέσιες καὶ φλέγματος, ἔνθεν δὲ χυμοὶ νοσώδεες καὶ ὑγρῶν σάψιες ἀμαυραὶ μὲν αἱ μὴ ἐν βάθει, χαλεπαὶ δὲ, ὧν ἀρχαὶ γίνωνται ἐξ ὀστέων, ἀνιαραὶ δὲ ἐκ μυελῶ ἐξαπτόμεναι. τελευταῖα δὲ νόσων ἐντὶ πνεύμα, χολά, φλέγμα αὐξανόμενα καὶ ῥέοντα εἰς χώρας,

ἀλλοφίας ἢ ὅπως ἐπικαιρίως. τηκόμενα γὰρ ἀντικαταλαμβάνοντα τὰν τῶν καῤῥόνων χώραν καὶ ἀπελάσαντα τὰ συγγενέα ἱδρύεται κακοῦντα τὰ σώματα καὶ ἐς αὐτὰ ταῦτα ἀναλύονται.

Varia lectio.

Καὶ ἀνοία ἐπιφαίνεται *aliter* καὶ ἀνοιὰ ἐπιφέρεται.

Α᾽ δὲ ἀκμά, *alibi* ἐκμά, *quod mendum eſt.*

Οὐδὲ γὰρ ἔτι εἴη κατεύρροον *alibi* ἢ τὰ εὔρροον καὶ εὔρροον.

Ἐπιῤῥόας νοέεται *alibi* νέεται.

Καὶ αὐτίκα σαρκὸς τακομένας κακόσιος *ego ſic emendaui nullo exemplari aſſentiente,* καὶ αὐτᾶς σαρκὸς τακομένας κακόσιος.

Ἢ ὅπως ἐπικαιρίως *alibi* ἐπικαίους.

Ἐκ μυελοῦ ἐξαπτόμεναι *in alio codice legitur* ἀρχόμεναι.

Τὰν τῶν καῤῥόνων χώραν *alibi* τὰς τῶν καῤῥόνων χώρας.

Verum ali & contineri animantium corpus quæ degunt in aere, ſatis conſtat, idq; fieri, cum cibus in molē uniuerſam per uenas confluit, ac diffunditur, qui ueluti per canales deducitur, & ui ſpiritus irrigat. Hic uero cibum in partes extremas diſpergit ac diſtribuit.

Reſpiratio autem agitur, eo quod nullum in natura inane ſit, atq; aer influat, trahaturq; loco eius qui ef-

ſluit, & reſpirando redditur per tonſillas, quæ minime cernuntur, per quas defertur humor, cuius quidem aeris pars quædam ui caloris naturalis abſumitur. Neceſſitas igitur cogit, ut tantum aeris excipiatur, quantum a pulmonibus redditum conſumptumq; eſt. Hoc autem niſi efficiatur, inanitates contingerent, quod ſanè per abſurdum eſſet. Non.n. adhuc eſſet quod conflueret, nec unum numero animal conſiſteret, ſi corpus eius ab inani diſſectum eſſet. Similis autem inſtrumentorum fabricatio, quæ reſpirationis proportione efficitur, in rebus inanimatis cernitur. Nam cucurbitula atq; electrum reſpirationis ſunt imagines. Siquidem ſpiritus per corpus effluunt extra, & uicisſim ore & naribus accipiuntur. Mox in Euripi modum in corpus redeunt, quod extenditur, dum illi effluunt. Cucurbitula quoq; cum aer ui ignis fuerit abſumptus, humorem trahit: Electrum uero ſimile corpus reſumit excreto ſpiritu.

Omnis autem cibus a cordis radice, & alui fonte in corpus deducitur, quod ſi plenius irrigetur, q̃ ſit ille cibus qui deſluit, accretio eſſe cenſetur, ſin minus, decretio, inter has media conſtans eſt ætas, quæ quidem cibo pariter effluente & influente intelligi debet. Verum cum diſſoluuntur corporis compages, ſi non amplius ducitur ſpiritus aut cibus diſtribuitur, moriatur animal neceſſe eſt. quanuis multæ uitæ peſtes ac pernicies, & mortis exiſtant cauſæ, quarum genus unum morbi uocabulo nuncupatur. Morborum initia primarum facul

tatum intemperies ſunt. Hæ autem ſolent accidere, cum calor, aut frigus, humor aut ſiccitas, quæ ſimplices ſunt poteſtates, redundant uel deficiunt. Has intemperantias ſequuntur corrupti ſanguinis mutationes, alterationesq́;, necnon & ea uitia quæ carne ipſa uel corrupta oriri ſolēt: præſertim ſi mutetur ſanguis, acutumq́; aut ſalſum aut acerem ſaporem cōtrahat, uel caro tabeſcat. Hinc bilis, hinc pituita, hinc morboſi oriuntur ſucci, & humores putreſcunt. quod humorum uitium obſcurum eſt, quanuis in profundo non lateat, difficile quidem cum initium ducit ex oſſibus, ſed moleſtum cum e medulla excitatur. Verum extremæ malitiæ tunc naſcūtur morbi, quum augeſcunt, flatus et bilis & pituita, atq; in alienas ſedes & letalia loca labuntur & confluunt. Nam tunc partium quæ principes ſunt, ſedem occupant, & quæ illis membris affinia cognataq́; ſunt, excludunt & abigunt confirmantq́; ac ſtabiliunt contraria quibus affliguntur corpora, atq; in ea ipſa diſſoluuntur.

Καὶ σώματος μὲν πάθεα τάδε, καὶ ἐκ τῶνδε ψυχᾶς νόσοι ἐντὶ πολλαὶ ἄλλαι δι᾽ ἄλλων δυνάμιων ἐντί, αἰσθητικᾶς μὲν δυσαισθησία, μναμονικᾶς δὲ λάθα, ὁρμητικᾶς δὲ ἀνορεξία καὶ ἀπεέπεια, παθητικᾶς δὲ ἄγρια πάθεά τε καὶ λύσσαι οἰστρώδεις, λογικᾶς δὲ ἀμαθία καὶ ἀφροσύνη· ἀρχαὶ δὲ κακίας ἁδοναὶ καὶ λῦπαι ἐπιθυμίαι τε καὶ φόβοι ἐξαμμέναι μὲν ἐκ σώματος, ἀνακεκραμμέναι δὲ τᾷ ψυχᾷ καὶ ἐξαγγελλόμεναι ὀνόμασι ποικίλοις. ἔρωτες γὰρ καὶ πόθοι ἵμεροί τε ἔκλυτοι, ὀργαί τε σύν=

ζονοι, καὶ θυμοὶ βαρεῖς ἀθυμίαι τε ποικίλαι καὶ ἁδοναὶ ἄμετροι ἐντί.

Ἁπλῶς δὲ αὐτὼς ἔχειν ποτὶ τὰ πάθεα, καὶ ἄρχεσθαι πέρας ἀρετᾶς καὶ κακίας ἐστί· τὸ γὰρ πλεονάζειν ἐν τούτοις ἢ κάρρον αὐτῶν εἶμεν εὖ ἢ κακῶς ἄμμε διατίθητι. ποτὶ δὲ ταύτας τὰς ὁρμὰς μεγάλα μὲν συνεργεῖν δύνανται αἱ τῶν σωμάτων κράσιες ὀξεῖαι ἢ θερμαὶ ἢ ἄλλοτε ἀλλοῖαι γινόμεναι ἐς μελαγχολίας καὶ λαγνείας χαλεποτέρας ἄγοισαι ἄμμε, καὶ ῥευματιζόμενα μέρεα δαξασμῶς ποιεῦντι καὶ μορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόντων, δι' ὧν δυσθυμίαι καὶ λῆθαι παραφροσύναι τε καὶ πτοῖαι ἀπεργάζονται. ἱκανὰ δὲ τὰ ἔθεα ἐν οἷς ἂν ἐντραφῶσι κατὰ τὴν πόλιν ἢ οἶκον καὶ ἁ καθ' ἁμέραν δίαιτα θρύπτουσα τὰν ψυχὰν ἢ ῥωννῦσα ποτ' ἀλκάν. ταὶ γὰρ θυραυλίαι, καὶ ἁπλαῖ τροφαί, καὶ τὰ γυμνάσια, καὶ τὰ ἤθεα τῶν συνόντων τὰ μέγιστα δύνανται ποτὶ ἀρετάν, καὶ ποτὶ κακίαν, καὶ ταῦτα μὲν αἴτια ἐκ τῶν γενετόρων, καὶ στοιχείων ἐπάγεται μᾶλλον ἢ ἐξ ἁμέων. ὅτι μὴ ἀργία ἐστὶν ἀφιστάμενον ἁμῶν τῶν ποθακόντων ἔργων. ποτὶ δὲ τὸ εὖ ἔχειν τὸ ζῶον, δεῖ τὸ σῶμα ἔχειν τὰς ὑπ' αὐτῷ ἀρετάς, ὑγίειαν τε καὶ εὐαισθησίαν ἰσχύν τε καὶ κάλλος, ἀρχὰ δὲ κάλλεος συμμετρία, ποτὶ δ' αὐτὰ τὰ μέρεα, καὶ ποτὶ τὰν ψυχάν. ἁ γὰρ φύσις οἷ' ὄργανον ἁρμόξατο τὸ σκᾶνος ὑπακοῦον τε εἶμεν καὶ ἐναρμόνιον ταῖς τῶν βίων ὑποθέσεσι. δεῖ δὲ καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι ποτὶ τὰς ἀναλόγως ἀρετάς, ποτὶ

μὲν σωφροσύναν ὅτι περὶ ὑγείαν τὸ σῶμα, περὶ δὲ φρόνασιν ὅτι περὶ εὐαισθησίαν, περὶ δ' ἀνδρότητα ὅτι περὶ ῥώμαν καὶ ἰσχὺν, περὶ δὲ δικαιοσύναν ὅτι περὶ κάλλος τὸ σῶμα. τουτέων δὲ ἀρχαὶ μὲν ἐκ φύσιος, μέσα δὲ καὶ πέρατα ἐξ ἐπιμελείας σώματος τε διὰ γυμναστικᾶς καὶ ἰατρικᾶς, ψυχᾶς δὲ διὰ παιδείας καὶ φιλοσοφίας. αὗται γὰρ ταὶ δυνάμιες τρέφοισαι καὶ τονοῦσαι καὶ σώματα καὶ ψυχὰς διὰ πόνων καὶ γυμνασίων καὶ διαίτας καθαρότατος, ταὶ μὲν διὰ φαρμακείαν, ταὶ δὲ παιδεύοισαι τὰν ψυχὰν διὰ κολασίων καὶ ἐπιπλαξίων. ῥώννυντι γὰρ διὰ προτροπᾶν ἐγείροισαι τὰν ὁρμὰν καὶ ἐκκελευόμεναι τὰ ποτίφορα περὶ ἔργα.

Ἀλειπτικὰ μὲν ὦν καὶ ἁ ταύτᾳ συγγενεστάτα ἰατρικὰ σώματα ταχθεῖσα θεραπεύεν ἐς τὰν κρατίσταν ἁρμονίαν ἄγοισα τὰς δυνάμιας, τό τε αἷμα καθαρὸν καὶ τὸ πνεῦμα σύρροον ἀποργάζεται, ἵνα εἰ καί τι νοσῶδες ὑπογένοιτο, κράτος αὐτῶ ἔχοιεν ἐρρωμέναι ταὶ δυνάμιες αἵματος καὶ πνεύματος.

Varia lectio.

Ὁρμητικῶς δὲ ἀνορεξία καὶ ἀπρέπεια *alibi* ἀπόπεια *ego legendum arbitror* ἀπεψία.

Καὶ ῥευματιζόμενα μέρεα δαξασμὼς ποιεῦντι *alibi* ῥευματιζόμενα τινὰ μορεὰ ὀδαξασμὼς ποιεῦντι. ὀδαξασμὸς *dentium prurigo interpretatur.*

Ὅτι μὴ ἀργία ἐστὶν ἀφιστάμενον *alibi* οὐκ ἀφιστάμενον.

Δεῖ δὲ καὶ τὰν ψυχὰν εὐθηγέεσθαι *alibi* ῥυθμίζεσθαι.

Atq; hæ quidem ſunt corporis affectiones ex quibus plures animi naſcuntur ægritudines, quamuis aliarum aliæ facultatum ſint. Quandoquidem ſenſus, difficultate ſentiendi, memoria obliuione, cupiditas cibi faſtidio & cruditate, uis patibilis agreſti affectu, & rabie æſtro concitata, ratio imperitia & inſipientia tentari ſolent. Vitioſitatis autem principia quatuor genere ſunt, uoluptas, dolor, cupiditas, & timor, quæ quidem perturbationes etiam ſi excitantur è corpore, animo certe admiſtæ ſunt, & uarijs explicantur nominibus. Siquidem amores effrenatáq; deſideria, iracundiæ uehementes, iræ graues, cupiditates uariæ, atq; immenſæ uoluptates exiſtunt; quibus affectionibus qui commouetur nimium eisq́; ſuccumbit, is omnino uirtutis & uitij excedit fines. Nam cum in his redundat aut deficit, bene aut male affici cenſendus eſt. Verum temperationes corporum acutæ aut calidæ, aut quæ alio modo uariæ effectæ ſunt, tum ad has perturbationes animi poſſunt impellere, tum ad atras biles & uehementes libidines incitare: Nonnullæ etiam partes a quibus deſtillationes fluunt, mordaces inducunt affectus, efficiuntq́; ut corpora magis inflammata q̃ ſana eſſe uideantur quorum ui mœrores animi, obliuiones, de-

liria

liria & metus proueniunt. quamuis ad hoc magnum ſatis habeat momentum ciuitatis, & familiarum conſuetudo, in quibus nos alti educatiq; ſumus, ac quotidiana uiuendi ratio, quæ uel molliunt animos atque effœminant, uel ad fortiter agendum eos corroborant. Nam uita domeſtica & ſimplex uictus, necnon exercitationes & mores eorum, quibus cum uerſamur, ad uirtutem & uitium plurimum ualent. Atq; hæ ſane ſunt cauſæ, quas ex parentibus potius & elementis, q̃ ex nobis afferri decet, modo non adſit ſegnities, quæ a decoris actionibus nos amoueat & abſtrahat. Verum ſi animal probe affectum & bene conſtitutum eſſe debeat, ut corpus eius ſuas habeat uirtutes, ualetudinem, ſenſus integritatem, robur, pulchritudinem neceſſe eſt. Pulchritudinis initium temperatio eſt, quæ tam ad ipſas corporis partes, q̃ ad animam pertinet. Natura enim corpus ueluti inſtrumentum coaptauit, quod uitæ neceſſitatibus pareret, & conſonans eſſet. Anima quoque ſuis uirtutibus, quæ corporis facultatibus proportione reſpondent, accommodanda eſt. Nam ipſa temperantiæ non aliter q̃ corpus ſanitati confertur, prudentiæ ut ſenſuum integritati, fortitudini ut robori & uiribus, eadem quoque iuſtitiæ, ut pulchritudini corpus comparatur. Harum ex natura proficiſcuntur initia, media atque extrema cura ac diligentia, exercitatione corporis & medicina conquiruntur, animæ uero uirtutes diſciplinæ & philo-

ſophiæ ſtudio comparantur. Siquidem facultates ipſæ quæ corpus & animam laboribus exercitationibus, ac puriſſima uiuendi ratione alunt & firmant, partim potiones præbendo, partim animas inſtituendo ſupplicijs & iurgijs caſtigant & corrigunt. Nam dum appetionem excitant, & iubent, ut commoda & utilia perſequantur, ſtabiliunt & corroborant. At ipſa quidem ars unctoria & medendi peritia, quæ illi cognatiſſima eſt, ad curanda tuendaq; corpora ſunt ordinatæ, in præſtantiſſimum concentum facultates perducunt, ac ſanguinem ſyncerum & purum, & ſpiritum confluentem reddere ſolent, ut ſi quid ſuboriatur morboſum, eius robur a uiribus ſanguinis & ſpiritus ſuperari omnino poſſit.

Μώσικα δὲ καὶ ἁ ταύτας ἁγεμὼν φιλοσοφία ἐπὶ τὰ τᾶς ψυχᾶς ἐπανορθώσει ταχθεῖσαι ὑπὸ θεῶν καὶ νόμων ἐθίζοντι, καὶ πείθοντι, τὰ δὲ καὶ ποταναγκάζοντι τὸ μὲν ἄλογον τῷ λογικῷ πείθεσθαι. τῷ δὲ ἀλόγῳ θυμὸν μὲν πρᾶον εἶμεν, ἐπιθυμίαν δὲ ἐν ἀρεμήσει, ὡς μὴ δίχα λόγου κινέεσθαι, μηδὲ μὰν ἀτρεμίζειν τῷ νῷ ἐκκαλεομένῳ, ἢ ποτὶ ἔργα, ἢ ποτὶ ἀπολαυσίας. οὗτος γὰρ ἐστὶν ὅρος σωφροσύνης, εὐπείθεια δὲ καὶ καρτερία καὶ σύνεσις καὶ ἁ πρεσβίστα φιλοσοφία ἀποκαθαραμέναι ψευδέα ἐνέθηκαν τὰν ἐπιστήμαν ἀνακαλεσάμεναι τὸν νόον, ἐκ μεγάλας τᾶς ἀγνοίας καὶ χαλάσασαι ἐς ὄψιν τῶν θείων, τοῖς ἐν διαφέρεν σὺν αὐταρκίᾳ τά ποτ' ἀνθρώπεια, καὶ συνωρία ἐπὶ τὸν σύμμετρον βίω χρόνο,

εὐδαιμόν ἐστιν, ὅτῳ μὲν δὴ ὁ δαίμων μοίρας τᾶς δ' ἔλαχε
δι' ἀλαθὲς ἄταν δόξαν ἄγεται ἐπὶ τὸν εὐδαιμονέστατον
βίον. εἰ δέ κα τις σκλαρὸς καὶ ἀπειθὴς, τούτῳ δ' ἑπέ-
σθω κόλασις ἅ τε ἐκ τῶν νόμων καὶ ἁ ἐκ τῶν λόγων συν-
τόνως ἐπάγοισα δείματά τε ἐπουράνια καὶ τὰ καθ' ἅδω,
ὅτι κολάσιες ἀπαραίτητοι ἀπόκεινται δυσδαίμοσι
νερτέροις καὶ τ' ἄλλα ὅσα ἐπαινέω τὸν ἰωνικὸν ποιητὴν
ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέως. ὡς γὰρ τὰ σώματα
νοσώδεσι ποκα ὑγιάζομεν, εἴκα μὴ εἴκῃ τοῖς ὑγιεινοτά-
τοις, οὕτω τὰς ψυχὰς ἀπείργομεν ψευδέσι λόγοις,
εἴκα μὴ ἄγηται ἀληθέσι. λέγοιντο δ' ἀναγκαίως καὶ
τιμωρίαι ξέναι, ὡς μετενδυομένων τᾶν ψυχᾶν τῶν μὲν
δειλῶν εἰς γυναικεῖα σκάνεα ποθ' ὕβριν ἐκδιδόμενα.
τῶν δὲ μιαιφόνων εἰς θηρίων σώματα ποτὶ κόλασιν· λάγ-
νων δὲ εἰς συῶν ἢ κάπρων μορφάς· κούφων δὲ καὶ με-
τεώρων εἰς πτηνῶν ἀεροπόρων· ἀργῶν δὲ καὶ ἀπράκτων
ἀμαθῶν τε καὶ ἀνοήτων εἰς τὰν τῶν ἐνύδρων ἰδέαν. ἅ-
παντα δὲ ταῦτα ἐν δευτέρᾳ περιόδῳ ἁ νέμεσις συν-
διέκρινε σὺν δαίμοσι παλαμναίοις χθονίοις τε τοῖς ἐ-
πόπταις τῶν ἀνθρωπίνων, οἷς ὁ πάντων ἀγεμὼν θεὸς
ἐπέτρεψε διοίκησιν κόσμω συμπεπληρωμένω ἐκ θεῶν
τε καὶ ἀνθρώπων τῶν τε ἄλλων ζώων, ὅσα δεδαμιούργη-
ται ποτ' εἰκόνα τὰν ἀρίσταν εἴδεος ἀγενάτω καὶ
αἰωνίω.

Varia lectio.

Ὑπὸ θεῶν τε καὶ νόμων ἐθίξοντι alibi legitur ἐείξοντι.

Τὸ μὲν ἄλογον τῷ λογικῷ aliter λογισμῷ.

Καὶ ἁ πρέσβυστα φιλοσοφία alibi πρεσβύτα.

ψεύδεα ἐνέθηκαν alibi ψεύδεας δόξας ἀνέθηκαν.

Χαλάσασαι ἐς ὄψιν τῶν θείων alio in codice χαλάσαισαι.

Τὼς ἐνεγέως alibi τὰς ἐναγέως.

ψεύδεσι λόγοις, ψευδολογίαις.

Ἀγενάτω καὶ αἰωνίω addita alia particula alibi ita legitur ἀγενάτω, καὶ αἰωνίω καὶ νοατῷ.

Verum Muſica & Muſicæ. Dux philoſophia cum ad corrigendos animos a Dijs & legibus ſint conſtitutæ, excitant ambæ & ſuadent, immo uero etiam cogunt, ut pars illa animæ fera & agreſtis rationi pareat & obſequatur, atq; ut ira & cupiditas quæ ſunt rationis expertes, illa mitis manſuetaq; ſit, hæc uero adeo quieta & remiſſa, ut ſine ratione non moueatur, ſed rationi, quæ modo ad aliquid agendum, modo ad uitam otioſam nos auocat, immobiliter adhereſcat. Hic enim continentiæ terminus eſt, ſed obedientia & fortitudo atque prudentia, necnon & antiquisſima philoſophia expurgatis atque euulſis falſis opinionibus ſcientiam nobis infundunt, magna rerum ignoratione

mentem noſtram liberant, atq; eandem ad diuinarum rerum contemplationem perducunt. In quibus perſpiciendis qui uerſantur, ij rebus humanis earumq; ope contenti hoc breui uitæ curriculo beati ac felices euadunt. Cuius enim genius hoc fatum ſortitus eſt, is uerisſimam ſecutus opinionem ad felicisſimum uitæ ſtatum euehitur. Quod ſi quis durus & pertinax ſit, Hunc illa ſequatur pœna quæ legibus & rationibus conſtituta eſt, mirificos eoſdemq; cœleſtes & plutonios incutiens terrores. Nam illis miſeris qui ſunt apud inferos, inexorabiles impendent cruciatus, & reliqua tormenta, quibus impios affligi Poetam Ionium multo iam tempore fingentem laudo & probo. Nam ut quandoq; rebus peſtiferis noſtra ſanantur corpora, ſi a ſalutaribus refugiamus, ſic animas falſis ſermonibus auertimus, ſi ueris non pareant. Sed noua & inaudita (cum cogat neceſsitas) narrentur ſupplicia, ut timidorum animæ muliebribus induantur corporibus, quæ contumelijs expoſita ſint, ut homicidarum animæ in figuras ferarum transferantur pœnas daturæ. libidinoſorum item & mollium in ſuum, & caprorum corpora. Leuium atq; eorum qui elato ſunt animo, in uolatilium formas, ut pigrorum atq; otioſorum ſtulti dium & imperitorum in ſpecies aquatilium conuertantur.

Hæc omnia in ſecundo ambitu diſtinxit ac diſpoſuit Nemeſis una cum nefarijs terreſtribusq; dæmonibus,

qui res humanas uident; ijs enim qui principatum omnium tenet, Deus commiſit ac mandauit, ut Mundum Dijs hominibus, cæteriſq; animantibus, quæ ad optimum ingenitæ, ſempiternæ, & ratione comprehenſibilis ſpeciei exemplar effectæ ſunt, completum atque confertum regerent & gubernarent.

LAVS DEO.

EIVSDEM NOGAROLAE IN TIMAEVM LOCRVM SEQVENTVR COMMENTARIA.

VENETIIS APVD HIERONYMVM SCOTVM. M. D. LV.